**15 IANUARIE**

**GHERASIM MIKRAGHIANANITUL**

# PARACLISUL SF.CUVIOS IOAN COLIBAŞUL DE LA CONSTANTINOPOL

**PARACLISIERUL PE IANUARIE-GR**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 15 ΙΑΝΟΥΑΡΙΟΥ
# ΙΩΑΝΝΟΥ ΚΑΛΥΒΙΤΟΥ ΟΣΙΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ είς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι είς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὴν τῶν Ἀγγέλων πολιτείαν ζηλώσας, ἀπὸ παιδὸς ἀκολουθήσας Κυρίῳ, ὑπερφυῶν χαρίτων κατηξίωσαι· ὅθεν καθικέτευε, πάσης ῥύεσθαι βλάβης, Ἰωάννη Ὅσιε, τοὺς πιστῶς σε τιμῶντας, καὶ τὴν παροῦσαν σκέπε σου Μονήν, πάσης ἀνάγκης, καὶ ῥύμης τοῦ ὄφεως.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Χάριν ἐξαίτει ἡμῖν, ὦ Ἰωάννη. Γερασίμου.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Χριστὸν καθικέτευε ἐκτενῶς, Πάτερ Ἰωάννη, ὑπὲρ πάντων τῶν εὐλαβῶς, τῇ σῇ προσιόντων προστασίᾳ, ὡς ἂν ῥυώμεθα πόνων καὶ θλίψεων.

Ἀσκήσεων ἄνθρακι λαμπρυνθείς, ἡμῶν τὰς καρδίας, καταλάμπρυνον μυστικῶς, ταῖς σαῖς φωτοφόροις ἱκεσίαις, καὶ τῶν παθῶν τὴν ἀχλὺν Πάτερ διασκόρπισον.

Ῥυσθεὶς προσπαθείας τῆς γεηρᾶς, ῥυσθῆναι δυσώπει, ἐμπαθείας με ψυχικῆς, καὶ δίδου ἰσχύν μοι Ἰωάννη, κατὰ παθῶν συνθλιβόντων με Ὅσιε.

*Θεοτοκίον.*

Ἱλέωσαι κόρη τὸν Σὸν Υἱόν, καὶ πάντων Δεσπότην, παῤῥησίᾳ Σου μητρικῇ, τοῖς πίστει καὶ πόθῳ προσιοῦσι, Θεογεννῆτορ τῇ Σῇ ἀγαθότητι.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Νεκρωθεὶς τοῖς ἐν κόσμῳ ἐν τῷ Χριστῷ ἔζησας· ὅθεν καθ' ἡμῶν τὴν μανίαν, τοῦ παναλάστορος, νέκρωσον Ὅσιε, τῇ ζωτικῇ σου πρεσβείᾳ, καὶ ζωὴν πρὸς κρείττονα, ἡμᾶς ὁδήγησον.

Ἐν τῇ σῇ προστασίᾳ ἡ σὴ Μονὴ γίνεται, Πάτερ Ἰωάννη θεόφρον, καὶ πίστει κράζει σοι· πάσης κακώσεως, καὶ προσβολῆς τοῦ βελίαρ, ἀσινῆ με φύλαττε, τῇ ἀντιλήψει σου.

Ξένος κόσμου ἐδείχθης τῷ πρὸς Χριστὸν ἔρωτι· ὅθεν κοσμικῶν φρονημάτων, ξένωσον Ἅγιε, τὰς διανοίας ἡμῶν, καὶ διὰ βίου τελείου, τῷ Χριστῷ οἰκείωσαι, ἡμᾶς δεόμεθα.

*Θεοτοκίον.*

Ἀπειρόγαμε Κόρη Μῆτερ Θεοῦ ἄχραντε, τὴν καταισχυνθεῖσαν ψυχήν μου, τοῖς πλημμελήμασι, κάθαρον δέομαι, καὶ καθαρᾶς πολιτείας, δεῖξόν με τὸν δοῦλόν Σου, ἐργάτην γνήσιον.

Διάσωσον, ὦ Ἰωάννη θεόληπτε Καλυβῖτα, τῇ ἐνθέῳ πρὸς τὸν Χριστὸν παρακλήσει σου, πάσης ἀνάγκης τοὺς σπεύδοντας τῇ σῇ σκέπῃ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Τῇ σῇ πρὸς Θεὸν πρεσβείᾳ καταφεύγοντες, παθῶν χαλεπῶν, τὴν λύτρωσιν λαμβάνομεν, Ἰωάννη Ὅσιε, διὰ τοῦτο πόθῳ βοῶμέν σοι· μὴ διαλίπῃς ἀπαύστως φρουρεῖν, ἡμᾶς τῶν βελῶν τοῦ πολεμήτορος.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἰατρεύειν ἑκάστοτε, πάθη ψυχικὰ καὶ νόσους τοῦ σώματος, μὴ ἐλλίπῃς ἡμῶν Ὅσιε, τῶν εἰλικρινῶς μακαριζόντων σε.

Τὴν σὴν ποίμνην διάσωζε, τὴν στηριζομένην τῇ ἀντιλήψει σου, Ἰωάννη παμμακάριστε, πάσης περιστάσεως καὶ θλίψεως.

Ἐκ παγίδων τοῦ ὄφεως, καὶ ἐκ συνοχῆς παθῶν ἀμαυρώσεως, ἀσινεῖς ἡμᾶς διάσωζε, Πάτερ Ἰωάννη τῇ σῇ χάριτι.

*Θεοτοκίον.*

Ἰησοῦν τὸν παντάνακτα, Ὃν ὑπερφυῶς Παρθένε ἐκύησας, ὡς Υἱόν Σου καθικέτευε, θείας Βασιλείας ἀξιῶσαί με.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἤνυσας καλῶς, Πάτερ δρόμον τῆς ἀσκήσεως· ὅθεν δίδου ἡμῖν δύναμιν ἀεί, διανύειν τὴν ὁδὸν τὴν ἄνω φέρουσαν.

Μέγας ἀρωγός, καὶ προπύργιον καὶ στήριγμα, ἀνεδείχθης τῆς παρούσης σου Μονῆς, Ἰωάννη ἣν ἀπαύστως περιφύλαττε.

Ἴασαι ἡμῶν, τὰς ψυχάς τε καὶ τὰ σώματα, Ἰωάννη Καλυβῖτα θαυμαστέ, καὶ πταισμάτων ἡμῖν αἴτει τὴν συγχώρησιν.

*Θεοτοκίον.*

Νόμῳ τοῦ Θεοῦ, θεαρέστως πολιτεύεσθαι, Θεοτόκε ἐνδυνάμωσον ἡμᾶς, ὡς ἂν πάσης ἀνομίας λυτρωθείημεν.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ὡς ξένος, πρὸ τῶν πυλῶν τῶν γονέων, καὶ ἀγνώριστος βιώσας παμμάκαρ, τὰς οὐρανίους διάνοιξον πύλας, ταῖς πρὸς Θεόν σου πρεσβείαις δεόμεθα, τοῖς τῆς ὁσίας σου ζωῆς, Ἰωάννη τιμῶσι τὰ σκάμματα.

Ἰλύος, φθοροποιῶν παθημάτων, Ἰωάννη Καλυβῖτα θεόφρον, τῶν πρεσβειῶν σου ἀπόπλυνον ῥείθροις, τὰς μολυνθείσας ψυχὰς ἡμῶν Ἅγιε, καὶ μετανοίας πρὸς ὁδόν, τὴν ζωὴν ἡμῶν Πάτερ κυβέρνησον.

Ὡς ἔχων, πρὸς τὸν Χριστὸν παῤῥησίαν, Ὃν ἐκ βρέφους ἠκολούθησας Πάτερ, ὑπὲρ τῆς Μάνδρας σου ταύτης δυσώπει, ὡς ἂν ἐνάρετον βίον διάγωμεν, ἐν

ὁμονοίᾳ ἀληθεῖ, καὶ σκανδάλων τὴν ῥύμην ἐκφύγωμεν.

*Θεοτοκίον.*

Ἀγγέλων, ἁγιωτέρα ὑπάρχεις, ἀσυγκρίτως ὡς τεκοῦσα ἀφράστως, τὸν ἐν Ἁγίοις πανάγιον Λόγον, ἀναπαυόμενον Κόρη πανάχραντε· διὸ ἁγίασον κἀμέ, καὶ ψυχῇ καὶ καρδίᾳ καὶ σώματι.

Διάσωσον, ὦ Ἰωάννη θεόληπτε Καλυβῖτα, τῇ ἐνθέῳ πρὸς τὸν Χριστὸν παρακλήσει σου, πάσης ἀνάγκης τοὺς σπεύδοντας τῇ σῇ σκέπῃ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ὡς ἐν καλύβῃ στενώσας τὸ σῶμά σου, πρὸς πλατυσμὸν Παραδείσου ἐσκήνωσας· διό με στενούμενον πάθεσι, πρὸς ἀπαθείας τὸ πλάτος ὁδήγησον, Πάτερ Ἰωάννη πρεσβείαις σου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα.*

*Εὐαγγέλιον Ὁσιακόν. Κατὰ Ματθαῖον (ια΄, 27-30)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς

ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ἡμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ὅλην σου τὴν ἔφεσιν, ἀπὸ παιδὸς τῷ Κυρίῳ, Πάτερ ἀναθέμενος, βίον τὸν ἰσάγγελον ἐπεπόθησας· διὸ νῦν Ὅσιε, ἐν φωτὶ ἀΰλῳ, σὺν Ἀγγέλοις εὐφραινόμενος, ἀπαύστως πρέσβευε, πάσης ἐκλυτροῦσθαι κακώσεως, καὶ πειρασμῶν καὶ θλίψεων, καὶ ἀῤῥωστημάτων ἑκάστοτε, τοὺς τῇ σῇ Εἰκόνι προσπίπτοντες σοφὲ πανευλαβῶς, ὦ Ἰωάννη μακάριε, καὶ σὲ μακαρίζοντας.

*Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ναὸς ἔμψυχος ὤφθης τοῦ Χριστοῦ ἐν καλύβῃ ἐνδιαιτώμενος· διὸ φωτὸς δοχεῖα, ἀμέμπτῳ πολιτείᾳ, Ἰωάννη ἀνάδειξον, ταῖς ἱκεσίαις ταῖς σαῖς, τοὺς σὲ ὑμνολογοῦντας.

Νόμου θείου μελέτῃ ἀπαθείας τὴν χάριν Πάτερ ἐπλούτησας· διὸ παθῶν κακίας, καὶ πάσης προσπαθείας, γεηρᾶς ἀπολύτωσαι, ὦ Καλυβῖτα σοφέ, τοὺς σὲ ὑμνολογοῦντας.

Ἡ ἁγία Μονή σου ὡς νοσσία προστρέχει Πάτερ τῇ σκέπῃ σου, ἣν πάσης ἐπηρείας, καὶ βλάβης καὶ μανίας, τοῦ πικροῦ πολεμήτορος, ὦ Ἰωάννη ἀεί, ἀπήμαντον συντήρει.

*Θεοτοκίον.*

Γεγονυῖα Παρθένε τοῦ τῶν ὅλων Δεσπότου θεῖον ἀνάκτορον, ταμεῖον τῆς αὐτοῦ με, ἀΰλου ἐνεργείας, Θεοτόκε ἀνάδειξον, διὰ ζωῆς καθαρᾶς, καὶ βίου ἐναρέτου.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἐκ τῶν σκανδάλων, τοῦ πονηροῦ Ἰωάννη, διαφύλαττε ἡμᾶς ἀπεριτρέπτους, τῇ σῇ ἀοράτῳ, ἐπιστασίᾳ Πάτερ.

Ῥάβδῳ ἀΰλῳ, τῆς προστασίας σου Πάτερ, τὴν παροῦσάν σου ποίμνην ἀεὶ ὁδήγει, πρὸς τῆς ἀπαθείας, ἀειθαλεῖς λειμῶνας.

Ἄλυπον βίον, δίδου ἡμῖν Ἰωάννη, καὶ ἀπάλλαξον κακίστης ῥαθυμίας, τοὺς πρὸς τὸν Σωτῆρα, μεσίτην σε πλουτοῦντας.

*Θεοτοκίον.*

Στήριξον Κόρη, τὴν κλονουμένην ψυχήν μου, ταῖς τοῦ ὄφεως ἀπαύστοις ἀντιπνοίαις, ἀῤῥαγεῖ ἐν πέτρᾳ, τῶν θείων προσταγμάτων.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰάτρευσον τὸ ἄλγος, Πάτερ τῆς ψυχῆς μου, καὶ τοῦ νοός μου τὸ σκότος ἀπέλασον, ταῖς φωτοφόροις πρεσβείαις σου πρὸς τὸν Κύριον.

Μονήν σου τὴν ἁγίαν, σκέπε Ἰωάννη, ἐκ πειρασμῶν καὶ δεινῶν περιστάσεων, καὶ δίδου ταύτῃ ἀπαύστως τὴν εὐλογίαν σου.

Ὁσίως βιοτεύσας, Πάτερ Ἰωάννη, ἐν ὁσιότητι πάσῃ ἐνίσχυσον, ἡμᾶς ἀνύειν τὸν βίον ἵνα ὑμνῶμέν σε.

*Θεοτοκίον.*

Ὑπέρτερον τὸν νοῦν μου, λογισμῶν ἀτόπων, δεῖξον Παρθένε καὶ τοῦτον ἀνύψωσον, πρὸς οὐρανίους ἐννοίας ἵνα δοξάσω Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ἔρωτι τῷ θείῳ ἀπὸ παιδός, τρωθεὶς Ἰωάννη, ἠκολούθησας τῷ Χριστῷ, καὶ δραμὼν σπουδαίως, Μονῇ τῶν Ἀκοιμήτων, ἰσάγγελος ἐδεόχθης, τῇ πολιτείᾳ σου.

Τοῦ ἐχθροῦ πατήσας τὰς μηχανάς, πρὸ πυλῶν γονέων, ἐν καλύβῃ τῇ πενιχρᾷ, ὡς πτωχὸς καὶ ξένος,

διήνυσας τὸν βίον, καὶ δόξης Ἰωάννη, ἀφράστου ἔτυχες.

Θάμβει συνεσχέθη μήτηρ ἡ σή, ὅτε ταύτῃ Πάτερ, ἐν τῷ τέλει τῆς σῆς ζωῆς, ἐμφανῶς ἐγνώσθης, καὶ δάκρυσι καὶ ὕμνοις, ᾔνεσεν Ἰωάννη, τὴν πολιτείαν σου.

Χαίροις ἐγκρατείας στήλη λαμπρά, καὶ τῆς ἀπαθείας, Ἰωάννη ἔμπνους λειμών· χαίροις Καλυβῖτα, ὁ ξένῃ πολιτείᾳ, αἰσχύνας τοῦ βελίαρ, τὰ μηχανήματα.

Χαίροις τῆς Μονῆς σου ταύτης φρουρός, καὶ θεῖος προστάτης, καὶ μεσίτης πρὸς τὸν Χριστόν, ἣν φρούρει καὶ σκέπε, ἐκ πάσης δυσχερείας, παμμάκαρ Ἰωάννη, τῇ ἀντιλήψει σου.

Δίδου Καλυβῖτα ὡς συμπαθής, ταύτῃ σου τῇ ποίμνῃ, πᾶσαν δόσιν ἀπὸ Θεοῦ, ὡς ἂν ἐναρέτως, ἀνύσωμεν τὸν βίον, καὶ δόξης οὐρανίου, ἀξιωθείημεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν

ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Κλῆσιν, τὴν φερώνυμον πλουτῶν, Πάτερ Ἰωάννη θεόφρον, ἀξιοθαύμαστε, χάριν ἡμῖν ἄνωθεν, δίδου σωτήριον, καὶ παθῶν ἀπολύτρωσιν, καὶ πάσης ἀνάγκης, ἀσινῆ διάσωζε, ταύτην τὴν Μάνδραν σου, πίστει, πρὸς τὴν σὴν προστασίαν, ὅλῃ ἀφορῶσαν καρδίᾳ, καὶ σεμνυνομένην τῇ πρεσβείᾳ σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*

